UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Paulo. 96.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

diuino mandato recessit, optimo iure imperium ipsi mutilatum atque imminutum est, atque non omni quidem imperij iure deturbatus est (nam alioqui frigida prorsus gratia inuenta fuisset) sed tamen aliqua ex parte truncatus est ipsi principatus. Neque enim æquum erat, vt is, qui victus fuerat, corona donaretur, verùm vt belluarũ terrore coërceretur, atque ad meliorẽ mentẽ reuocaretur. Quòd autem hoc verum sit, hinc constat, quòd cum Noë, iustitiam colendo & amplectendo, hanc imaginem repurgasset, feræ omnes ad eum se contulerunt, veterem seruitutem confitentes, atque eum, qui primùm peccauerat, atque imperij parte mulctatus fuerat, propemodum accusantes. Quinetiam Danielem leones, & tres pueros ignis veritus est: nec vipera Paulum vllo modo læsit. Quamobrem ex eo quòd isti auitum imperiũ reuocarunt, perspicuum est eum integrum quidẽ accepisse, verùm partem aliquã amisisse. Atque hæc à nobis dicta sint. Quòd si quis melius aliquid habet quod proferat, dicatur sanè atque audiatur.

θείαις δέλτοις, ἡ ἀρχὴ τῶν θηρείων οὐκ ἐνέκειτο. ἀλλ' ὕστερον παρά τινων προσετέθη, ἐξ εὐθείας τὴν ἀπολογίαν ποιήσομαι. ὅτι ἐξ ἀρχῆς μὲν αὐτῷ ὅτε ἔλαμπεν ἡ εἰκών, πάντα ὑπέκειτο. διὸ καὶ ὀνόματα αὐτοῖς ἐπέθηκεν. ἐπειδὴ δὲ παρήκουσεν, ἠκρωτηριάσθη αὐτοῦ εἰκότως ἡ ἀρχή. καὶ πάσης μὲν οὐκ ἐξεβλήθη, ἵνα μὴ ἕωλος ἡ χάρις εὑρεθῇ. ἠκρωτηριάσθη δέ. οὐ γὰρ δίκαιον ἦν τὸν ἡττηθέντα καὶ στεφανωθῆναι, ἀλλὰ τῷ φόβῳ τῶν θηρείων σωφρονισθῆναι. ὅτι δὲ τοῦτ' ἔστιν ἀληθές, ὅτε ὁ Νῶε τὴν εἰκόνα ταύτην ἀνεκάθηρε, τὸ δικαιοσύνην ἀσμενίσαι. ἦλθε πρὸς αὐτὸν πάντα τὰ θηρεία, τὴν ἀρχαίαν δουλείαν ὁμολογοῦντα, καὶ μονονουχὶ τὸν ἐξ ἀρχῆς ἁμαρτόντα, καὶ μέρος τῆς ἀρχῆς ἀπολέσαντα καταμεμφόμενα. καὶ τὸν Δανιὴλ δὲ οἱ λέοντες ᾐδέσθησαν. καὶ τὸ πῦρ τοὺς παῖδας τοὺς τρεῖς. καὶ ἡ ἔχις τὸν Παῦλον οὐδὲν ἔβλαψε. δι' ὧν οὖν ἀνενεώσαντο τὴν προγονικὴν ἀρχήν, δῆλός ἐστι κἀκεῖνος εἰληφὼς μὲν ὁλόκληρον, ἐκ μέρους δ' ἀπολέσας. καὶ ταῦτα μὲν παρ' ἡμῶν. εἰ δέ τις ἔχοι βέλτιον λέγειν, καὶ λεγέτω, καὶ ἀκουέσθω.

### *Paulo.* 96.

Cùm omnes artes vsu atque exercitatione confirmentur atque incrementa capiant, cessatione autẽ ac desidia intereunt: tum præcipuè dicendi facultas. Nam cùm colitur & irrigatur, maximè crescit: cùm autem negligitur, facilè abscedit & auolat. Quorsum autem his verbis vtar, fortasse minimè ignoras, qui diuinam sapientiam ac virtutis cultum assiduis incremẽtis augere atque amplificare debes.

### Παύλῳ. ϟϛ.

Πᾶσαι μὲν αἱ τέχναι, ταῖς μὲν μελέταις συγκροτοῦνται, καὶ μείζους γίνονται. ταῖς δ' ἀργίαις ἀπόλλυνται. μάλιστα δὲ ἡ τῶν λόγων δύναμις. θεραπευομένη μὲν γὰρ καὶ ἀρδευομένη, μεγίστη γίνεται. ἀμελουμένη δέ, ῥᾳδίως ἀποφοιτᾷ καὶ ἀφίπταται. ὅτου δὲ χάριν ταῦτα λέγω, ἴσως οὐκ ἀγνοεῖς, ὁ τὴν θείαν σοφίαν καὶ τὴν τῆς ἀρετῆς ἐργασίαν δίκαιος ὢν ταῖς προσθήκαις αὔξειν, καὶ μείζους καθιστᾶν.

### *Zosimo.* 97.

Quamuis & ætate senex sis, & propter sacram ordinationem appelleris: rumor est tamẽ te moribus iuuenem agere, atque quemuis iuuenem ac florentem. Improbi-

### Ζωσίμῳ. ϟζ.

Πρεσβύτερον ὄντα σε διὰ τὴν ἡλικίαν, καὶ καλούμενον, διὰ τὴν χειροτονίαν φασὶ νεωτερίζειν τοῖς τρόποις, καὶ πάντα ἀκμάζοντα ἀποκρύπτειν πράτ-

τοιτα